τήν κίνηση. Οἱ κινήσεις μας εἶναι αὐθόρμητες καὶ τά λόγια μας τίς κάνουν λόγια ἄν ὑπάρχει αὐτή ἡ ἀνάγκη.

Μαρσέλ Ζούς

## ΑΝΘΟΛΟΓΙΑ

### Ὅμηρος

Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι·
ὑμεῖς γάρ θεαί ἐστε, πάρεστέ τε, ἴστε τε πάντα,
ἡμεῖς δέ κλέος οἶον ἀκούομεν, οὐδέ τι ἴδμεν·
οἵτινες ἡγεμόνες Δαναῶν καί κοίρανοι ἦσαν.

*

Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνή φοίνικι μιήνῃ
Μῃονίς ἠέ Κάειρα, παρήιον ἔμμεναι ἵππων·
κεῖται δ' ἐν θαλάμῳ, πολλέες τέ μιν ἠρήσαντο
ἱππῆες φορέειν· βασιλῆι δὲ κεῖται ἄγαλμα,
ἀμφότερον, κόσμος θ' ἵππῳ ἐλατῆρί τε κῦδος·
τοῖοι τοι, Μενέλαε, μιάνθην αἵματι μηροί
εὐφυέες, κνῆμαί τ' ἠδέ σφυρά κάλ' ὑπένερθεν.

*

Δᾶερ ἐμεῖο, κυνός κακομηχάνου, ὀκρυοέσσης,
ὥς μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ,
οἴχεσθαι προφέρουσα κακή ἀνέμοιο θύελλα
εἰς ὄρος, ἤ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης·
ἔνθα με κῦμ' ἀπόερσε, πάρος τάδε ἔργα γενέσθαι.

Β 484—8, Δ 141—8, Ζ 344—8

### Ἡσίοδος

Χρύσεον μέν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.

*

Δεύτερον αὖτε γένος πολύ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυήν ἐναλίγκιον οὔτε νόημα.

*

Ζεύς δέ πατήρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ' οὐκ ἀργυρέῳ οὐδέν ὁμοῖον
ἐκ μελιᾶν, δεινόν τε καί ὄβριμον.

*

Αὐτάρ ἐπεί καί τοῦτο γένος κατά γαῖα κάλυψεν,

αὖτις ἔτ' ἄλλο τέταρτον ἐπί χθονί πουλυβοτείρῃ
Ζεύς Κρονίδης ποίησε, δικαίστερον καί ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἵ καλέονται
ἡμίθεοι, προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.

*

Μηκέτ' ἔπειτ' ὤφελλον ἐγώ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἤ πρόσθε θανεῖν ἤ ἔπειτα γενέσθαι.
Νῦν γάρ δή γένος ἐστί σιδήρεον οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καί οἰζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι, χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.

* *

Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισιν·
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.»
Ὣς ἔφατ' ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐίσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην
καὶ πόθον ἀργαλέον καὶ γυιοκόρους μελεδώνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε, διάκτορον Ἀργεϊφόντην.
Ὣς ἔφαθ', οἳ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι·
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δὲ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσι εἰαρινοῖσι·
πάντα δὲ οἱ χροΐ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη·
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργεϊφόντης
ψεύδεά θ' αἱμιλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.

Ἔργα καὶ Ἡμέραι. 54—82, 109—10, 126—8, 143—5, 156—60, 174—8